※καὶ ἐν τρίβῳ ἀνδρὸς εὑρήσει αὐτόν.⸓
12 οἴῃ δὲ τὸν κύριον ἄτοπα ποιήσειν;
ἢ ὁ παντοκράτωρ ταράξει κρίσιν;
13 ὃς ἐποίησεν τὴν γῆν·
τίς δέ ἐστιν ὁ ποιῶν τὴν ὑπ᾽ οὐρανὸν καὶ τὰ ἐνόντα πάντα;
14 εἰ γὰρ βούλοιτο συνέχειν
καὶ τὸ πνεῦμα παρ᾽ αὐτῷ κατασχεῖν,
15 τελευτήσει πᾶσα σὰρξ ὁμοθυμαδόν,
πᾶς δὲ βροτὸς εἰς γῆν ἀπελεύσεται, ὅθεν καὶ ἐπλάσθη.
16 εἰ δὲ μὴ νουθετῇ, ἄκουε ταῦτα,
ἐνωτίζου φωνὴν ῥημάτων.
17 ἰδὲ σὺ τὸν μισοῦντα ἄνομα
καὶ τὸν ὀλλύντα τοὺς πονηροὺς
ὄντα αἰώνιον δίκαιον.
18 ἀσεβὴς ὁ λέγων βασιλεῖ Παρανομεῖς,
※ἀσεβέστατε τοῖς ἄρχουσιν·⸓
19 ὃς οὐκ ἐπῃσχύνθη πρόσωπον ἐντίμου
οὐδὲ οἶδεν τιμὴν θέσθαι ἁδροῖς
θαυμασθῆναι πρόσωπα αὐτῶν.
20 κενὰ δὲ αὐτοῖς ἀποβήσεται τὸ κεκραγέναι καὶ δεῖσθαι ἀνδρός·
ἐχρήσαντο γὰρ παρανόμως ἐκκλινομένων ἀδυνάτων.
21 αὐτὸς γὰρ ὁρατής ἐστιν ἔργων ἀνθρώπων,
λέληθεν δὲ αὐτὸν οὐδὲν ὧν πράσσουσιν,
22 οὐδὲ ἔσται τόπος τοῦ κρυβῆναι τοὺς ποιοῦντας τὰ ἄνομα·
23 ※ὅτι οὐκ ἐπ᾽ ἄνδρα θήσει ἔτι·⸓
ὁ γὰρ κύριος πάντας ἐφορᾷ
24 ὁ καταλαμβάνων ἀνεξιχνίαστα,
ἔνδοξά τε καὶ ἐξαίσια, ὧν οὐκ ἔστιν ἀριθμός·
25 ὁ γνωρίζων αὐτῶν τὰ ἔργα
※καὶ στρέψει νύκτα, καὶ ταπεινωθήσονται.⸓
26 ἔσβεσεν δὲ ἀσεβεῖς,

$12^1$ τον κυρ./ατοπα ποι.] tr. S† | ατοπα] pr. τα AV† | $12^2$ κρισιν] το δικαιον AV† || $13^2$ ποιησας A† | ενοντα] εν > S† || $14^1$ συσχειν S$^c$ | $14^2$ κατεσχεν S*† || $15^2$ πας δε βροτος] βρ. δε AV† | και > S*† || $16^1$] + ιωβ A V†: cf. 37 2 || $17^1$ τον] pr. ουκ οιει AV† | ανομα] pr. τα A | $17^3$ δικαιον] pr. ειναι AV† || $18^2$ ασεβεστατε B La(Sy dub.)] τε > S*† (ante τοις), -σταται AV†, -στατος S$^c$ pl. | τοις αρχ. pendet ex λεγων || $19^1$ επησχυνθη compl.] ησχ. V mu., επεσχ. S†, επαισχ. B†, αισχ. A† | $19^2$ ουδε οιδεν] ουκ εδωκεν δε AV† | αδροις] ανδρων AV(†) | $19^3$] pr. του AV† | προσωπα] pr. τα AV†, προσωπον S† || $20^2$ παρανομως] ανομως V†(* -μος), ανομοις A† | εκκλινομενων B Sy†] εκκλ(ε)ιομ. S La, εγκλειομ. mu.; εκκλιομενοις A†, εκκαιομενοις V† | αδυνατων] και αδυνατοις AV† || $21^2$ δε] γαρ S† || 22 εστιν S$^c$ pl. || $23^2$ παντας] ς > S$^c$, τα παντα AV† || $25^1$ ο > AV† | $25^2$ ταπεινωθησεται BS†